τοῖς μὴ ἔχουσιν καὶ εὐφρανθῆναι μεγάλως, [55]ὅτι καὶ ἐνεφυσιώθησαν 55
ἐν τοῖς ῥήμασιν, οἷς ἐδιδάχθησαν. — καὶ ἐπισυνήχθησαν.

55 οτι και B†] και > A†, οτι γαρ mu. | και επισυνηχθ.: ad haec uerba addit *L*† ea, quae in Esdr. II 18 13 sequuntur

Subscr. εσδρας α′ B, εζρας α′ A: cf. 8 1

# ΕΣΔΡΑΣ Β′

[1]Καὶ ἐν τῷ πρώτῳ ἔτει Κύρου τοῦ βασιλέως Περσῶν τοῦ τελε- 1
σθῆναι λόγον κυρίου ἀπὸ στόματος Ιερεμιου ἐξήγειρεν κύριος τὸ
πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλεν φωνὴν ἐν πάσῃ
βασιλείᾳ αὐτοῦ καί γε ἐν γραπτῷ λέγων [2]Οὕτως εἶπεν Κῦρος βα- 2
σιλεὺς Περσῶν Πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέν μοι κύριος
ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐπεσκέψατο ἐπ᾽ ἐμὲ τοῦ οἰκοδο-
μῆσαι αὐτῷ οἶκον ἐν Ιερουσαλημ τῇ ἐν τῇ Ιουδαίᾳ. [3]τίς ἐν ὑμῖν ἀπὸ 3
παντὸς τοῦ λαοῦ αὐτοῦ; καὶ ἔσται ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ
ἀναβήσεται εἰς Ιερουσαλημ τὴν ἐν τῇ Ιουδαίᾳ, καὶ οἰκοδομησάτω
τὸν οἶκον θεοῦ Ισραηλ (αὐτὸς ὁ θεὸς ὁ ἐν Ιερουσαλημ). [4]καὶ πᾶς 4
ὁ καταλειπόμενος ἀπὸ πάντων τῶν τόπων, οὗ αὐτὸς παροικεῖ ἐκεῖ,
καὶ λήμψονται αὐτὸν ἄνδρες τοῦ τόπου αὐτοῦ ἐν ἀργυρίῳ καὶ χρυ-
σίῳ καὶ ἀποσκευῇ καὶ κτήνεσιν μετὰ τοῦ ἑκουσίου εἰς οἶκον τοῦ
θεοῦ τοῦ ἐν Ιερουσαλημ. — [5]καὶ ἀνέστησαν ἄρχοντες τῶν πατρι- 5
ῶν τῷ Ιουδα καὶ Βενιαμιν καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται, πάντων ὧν
ἐξήγειρεν ὁ θεὸς τὸ πνεῦμα αὐτῶν τοῦ ἀναβῆναι οἰκοδομῆσαι τὸν
οἶκον κυρίου τὸν ἐν Ιερουσαλημ. [6]καὶ πάντες οἱ κυκλόθεν ἐνίσχυ- 6
σαν ἐν χερσὶν αὐτῶν ἐν σκεύεσιν ἀργυρίου, ἐν χρυσῷ, ἐν ἀπο-
σκευῇ καὶ ἐν κτήνεσιν καὶ ἐν ξενίοις πάρεξ τῶν ἐν ἑκουσίοις. [7]καὶ 7

Esdr. II (= 𝔐 עזרא + נחמיה; Latinis „Esdr. I + II“): BA et inde ab 9 9 S. — S^c (corrector septimi saeculi; Tischendorfio „c⟨orrector⟩ a“) textum ad *O* (et ad *L*?) adaptauit, cf. quae in fine libri adnotata sunt: ἀντεβλήθη προς παλαιώτατον λίαν ἀντίγραφον δεδιορθωμένον χειρὶ τοῦ ἁγίου μάρτυρος Παμφίλου, ὅπερ ἀντίγραφον πρὸς τῷ τέλει ὑποσημείωσίς τις ἰδιόχειρος αὐτοῦ ὑπέκειτο ἔχουσα οὕτως Μετελήμφθη καὶ διορθώθη πρὸς τὰ ἑξαπλᾶ Ὠριγένους· Ἀντωνῖνος ἀντέβαλεν, Πάμφιλος διόρθωσα (cf. Est.); codicis S primam manum non soleo „S*“ dicere, sed „S“ tantum. — *L* = 19 93 108 (et interdum 121).

Inscr. ιερευς A†: cf. Esdr. I inscr.

1 1 κυριου > B† (B*† om. etiam λογον) | κυριος > B† || 2 της γης et κυριος > B† | επ εμε] pr. με B† | του ult. > B† | τη ιουδαια] ιουδα B† || 3 ιερουσαλημ $1^{0} \frown 2^{0}$ B† | την pl.] η A† (B† deest) || 4 χρυσιω] pr. εν A† | αποσκευη] pr. εν AB^c || 5 τω] των A | και οι $1^{0} \frown 2^{0}$ A† | παντων] -τες A*L*†: cf. 1 2 5 | κυριου > B† || 6 ενισχυσαν] εν > A† | εν $4^{0}$] pr. και A | εν εκουσιοις] εκουσιων B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/955 UNIVERSITÄT LEIPZIG